electione, an qui in recta tantum persistit? vtrum item incontinens, qui in qualicunque & ratione & electione perstat, an qui in falsa ratione, & non recta electione permanet? nunquid ex accidenti in qualicunque, per se verò in vera ratione, & in recta electione persistit alter, alter non persistit? nam siquis illud ob hoc eligit & sectatur hoc per se: prius illud ex accidenti sectatur, atque eligit: per se autem simpliciter & absolutè appellamus. Quare fit vt quodammodo in qualicunque opinione, absolutè autem in vera alter perseueret, alter non perseueret. Sunt autem nonnulli in opinione perseuerantes, quos pertinaces vocant, vt obstinati, & qui non facilè dissuasionem admittunt: qui similitudinem quidem cum continente quandam habent, sicut prodigus cum liberali, audax cum forti, diuersi tamen in multis sunt. continens enim ex affectu & cupiditate non immutatur: nam cùm inciderit, suasioni obtemperans est: ille nō à ratione. cupiditates enim admittunt plerique, atque à voluptatibus ducuntur. Ac sunt quidem pertinaces qui suæ sunt sententiæ homines, & ineruditi, & rustici, atque hi quidem suæ sunt sententiæ, ex voluptate & dolore, gaudent enim cùm vincunt, si non dissuasi fuerint: dolent contrà si sua, perinde ac sint decreta, irrita fuerint effecta, vt hac ratione incontinenti magis, quàm continenti similes sint. Sed sunt etiam quidam qui in iis quæ decreuerunt non perstant, neque tamen ob incōtinentiam, vt in Philoctete Sophoclis Neoptolemus: atqui is ob voluptatem quidem, non persistit: sed honestum erat. verum enim dicere ipsi erat honestum, cùm ad mentiendum ab Vlysse fuisset persuasus. non enim omnis qui ob voluptatem quippiam agit, intemperans est, aut prauus, aut incontinens: sed qui ob turpem voluptatem agit.

## CAPVT XI.

CVm autem sit quidam etiam talis, qui corporalibus minus quàm oporteat oblectetur, neque in ratione tamen persistat, inter hunc & incontinentem medius continens est. incontinens enim in ratione nō persistit, quia magis quàm oportet: hic, quia minus quàm oportet, quippiā sectatur. at continens perstat, & ob neutrum immutatur. Si cōtinentia verò honesta est, vtrosq. hos cōtrarios habitus esse prauos, sicuti etiā videntur, necesse est: quia tamē alter ex his in paucis, & raro solet reperiri: fit, vt quemadmodum temperantia in-

A ἢ ὁ τῇ ὀρθῇ; καὶ ἀκρατὴς δὲ, ὁ ὁποιᾳοῦν μὴ ἐμμένων προαιρέσει, καὶ ὁποιῳοῦν λόγῳ, ἢ ὁ μὴ τῷ ψευδεῖ λόγῳ, καὶ τῇ προαιρέσει τῇ ὀρθῇ, ὥσπερ ἠπορήθη πρότερον, ἢ κατὰ συμβεβηκὸς ὁ ὁποιᾳοῦν· καθ' αὑτὸ δὲ τῷ ἀληθεῖ λόγῳ καὶ τῇ ὀρθῇ προαιρέσει, ὁ μὲν, ἐμμένει· ὁ δὲ, οὐκ ἐμμένει· εἰ γάρ τις τοδὶ διὰ τοδὶ αἱρεῖται ἢ διώκει, καθ' αὑτὸ μὲν τοῦτο διώκει καὶ αἱρεῖται· κατὰ συμβεβηκὸς δὲ, τὸ
B πρότερον. ἁπλῶς δὲ λέγομεν, τὸ καθ' αὑτό· ὥστε ἐστὶ μὲν ὡς ὁποιᾳοῦν δόξῃ, ὁ μὲν, ἐμμένει· ὁ δὲ, ἐξίσταται· ἁπλῶς δὲ, τῇ ἀληθεῖ. εἰσὶ δέ τινες οἱ ἐμμενετικοὶ τῇ δόξῃ· εἰσὶ δ' οὓς καλοῦσιν ἰσχυρογνώμονας, οἷον δύσπειστοι καὶ οὐκ εὐμετάπειστοι· οἳ ὅμοιον μέν τι ἔχουσι τῷ ἐγκρατεῖ οἷον ὁ ἄσωτος τῷ ἐλευθερίῳ, καὶ ὁ θρασὺς τῷ θαρραλέῳ· εἰσὶ δ' ἕτεροι κατὰ
C πολλά· ὁ μὲν γὰρ, διὰ πάθος καὶ ἐπιθυμίαν οὐ μεταβάλλει, ὁ ἐγκρατής· ἐπεὶ εὔπειστος, ὅταν τύχῃ, ἔσται ὁ ἐγκρατής· ὁ δὲ, οὐχ ὑπὸ λόγου· ἐπεὶ ἐπιθυμίας γε λαμβάνουσι, καὶ ἄγονται πολλοὶ ὑπὸ τῶν ἡδονῶν. εἰσὶ δὲ ἰσχυρογνώμονες οἱ ἰδιογνώμονες, καὶ οἱ ἀμαθεῖς καὶ ἄγροικοι· οἱ μὲν ἰδιογνώμονες, δι' ἡδονὴν καὶ λύπην· χαίρουσι γὰρ νικῶντες, ἐὰν μὴ μεταπείθωνται· καὶ λυποῦνται, ἂν ἄκυρα τὰ
D αὐτῶν ᾖ, ὥσπερ ψηφίσματα· ὥστε μᾶλλον τῷ ἀκρατεῖ ἐοίκασιν ἢ τῷ ἐγκρατεῖ. Εἰσὶ δέ τινες οἳ τοῖς δόξασιν οὐκ ἐμμένουσι, οὐ δι' ἀκρασίαν, οἷον ἐν τῷ Φιλοκτήτῃ τοῦ Σοφοκλέους ὁ Νεοπτόλεμος· καί τι δι' ἡδονὴν οὐκ ἐνέμεινεν, ἀλλὰ καλήν. τὸ γὰρ ἀληθεύειν αὐτῷ καλὸν ἦν· ἐπείσθη δ' ὑπὸ τοῦ Ὀδυσσέως ψεύδεσθαι· οὐ γὰρ πᾶς ὁ δι' ἡδονήν τι
E πράττων, ἐστὶν ἀκόλαστος, οὔτε φαῦλος, οὔτε ἀκρατής· ἀλλ' ὁ δι' αἰσχράν.

## Κεφάλαιον ια.

ΕΠεὶ δ' ἐστί τις καὶ τοιοῦτος οἷος ἧττον ἢ δεῖ τοῖς σωματικοῖς χαίρειν, καὶ οὐκ ἐμμένων τῷ λόγῳ, ὁ τοιοῦτος τούτου καὶ τοῦ ἀκρατοῦς μέσος ὁ ἐγκρατής· ὁ μὲν γὰρ ἀκρατὴς οὐκ ἐμμένει τῷ λόγῳ, διὰ τὸ μᾶλλόν τι· οὗτος δὲ,
F διὰ τὸ ἧττόν τι· ὁ δ' ἐγκρατὴς, ἐμμένει, καὶ οὐδὲ δι' ἕτερον μεταβάλλει. δεῖ δὲ, εἴπερ ἡ ἐγκράτεια σπουδαῖον, ἀμφοτέρας τὰς ἐναντίας ἕξεις φαύλας εἶναι, ὥσπερ καὶ φαίνονται· ἀλλὰ διὰ τὸ τὴν ἑτέραν ἐν ὀλίγοις καὶ ὀλιγάκις εἶναι φανεράν, ὥσπερ ἡ σωφροσύνη τῇ ἀκολασίᾳ

δοκεῖ